UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

IX. Quinam Episcopi fuerint Commodi Principatu.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

cam quam Alexandriæ exſtruxerat, omnium gentium libris quotquot lectu digni eſſent exornare contendens, petiit ab Hieroſolymitanis, ut ipſorum Scripturas Græco ſermone interpretatas acciperet. At illi, erant enim tunc Macedonibus obnoxii, quos habebant ſacrarum literarum & utriuſque linguæ peritiſſimos ſeptuaginta ſeniores ad Ptolemæum miſerunt, ejus deſiderio ſatisfacturos. Ptolemæus cùm ſingulorum ſeorſum periculum facere vellet, veritus ne fortè ex compacto veritatem Scripturæ interpretatione ſua occultarent, ſemotos ab invicem eandem omnes Scripturam interpretari juſſit: idque in omnibus præſtitit libris. Poſt hæc cùm omnes ſimul conveniſſent apud Ptolemæum, ac verſiones ſuas inter ſe contuliſſent, & Deus glorificatus eſt, & Scripturas verè divinas eſſe compertum eſt. Quippe omnes cuncta à capite ad calcem iiſdem dictionibus ac vocabulis expreſſerant: adeò ut ipſi qui aderant Gentiles, afflatu divino converſas eſſe Scripturas cognoſcerent. Neque verò mirandum eſt id à Deo præſtitum fuiſſe, cùm in captivitate populi quę ſub Nabuchodonoſoro contigit, corruptis Scripturis, ac poſt ſeptuaginta demùm annos regreſſis in patriam Judæis, Artaxerxis Perſarum Regis temporibus, Eſdram Sacerdotem de tribu Levi afflatu ſuo Deus impulerit, ut omnes veterum Prophetarum libros denuò componeret, legemque miniſterio Moyſis latam populo reſtitueret. Hactenus Irenæus.

A θήκην ἐν Ἀλεξανδρείᾳ κοσμῆσαι τοῖς πάντων ἀνθρώπων συγγράμμασιν, ὅσα γε σπουδαῖα ὑπῆρχεν, ᾐτήσατο παρὰ τῶν Ἱεροσολυμιτῶν, εἰς τὴν ἑλληνικὴν διάλεκτον σχεῖν αὐτῶν μεταβεβλημένας τὰς γραφάς. οἱ δὲ, ὑπήκουον γὰρ ἔτι τοῖς Μακεδόσι τότε, τοὺς παρ' αὐτοῖς ἐμπειροτάτους τῶν γραφῶν καὶ ἀμφοτέρων τῶν διαλέκτων, ἑβδομήκοντα πρεσβυτέρους ἔπεμψαν Πτολεμαίῳ, ποιήσαντος τοῦ Θεοῦ ὅπερ ἠβούλετο. ὁ δὲ ἰδίᾳ πεῖραν αὐτῶν λαβεῖν θελήσας, εὐλαβηθείς τε μήτι ἄρα συνθέμενοι ἀποκρύψωσι τὴν ἐν ταῖς γραφαῖς διὰ τῆς ἑρμηνείας B ἀλήθειαν, χωρίσας αὐτοὺς ἀπ' ἀλλήλων, ἐκέλευσε τοὺς πάντας τὴν αὐτὴν ἑρμηνείαν γράφειν. καὶ τοῦτο ἐπὶ πάντων τῶν βιβλίων ἐποίησε. συνελθόντων δὲ αὐτῶν ἐπὶ τὸ αὐτὸ παρὰ τῷ Πτολεμαίῳ, καὶ συναντιβαλόντων ἑκάστου τὴν αὐτοῦ ἑρμηνείαν, ὁ μὲν Θεὸς ἐδοξάσθη, αἱ δὲ γραφαὶ ὄντως θεῖαι ἐγνώσθησαν. τῶν πάντων τὰ αὐτὰ ταῖς αὐταῖς λέξεσι καὶ τοῖς αὐτοῖς ὀνόμασιν ἀναγορευσάντων ἀπ' ἀρχῆς μέχρι τέλους, ὥστε καὶ τὰ παρόντα ἔθνη γνῶναι, ὅτι κατ' ἐπίπνοιαν τοῦ Θεοῦ εἰσὶν ἡρμηνευμέναι αἱ γραφαί. καὶ οὐδέν γε θαυμαστὸν τοῦτο ἐνηργηκέναι C τὸν Θεόν. ὅς γε καὶ ἐν τῇ ἐπὶ Ναβουχοδονόσορ αἰχμαλωσίᾳ τοῦ λαοῦ, διαφθαρεισῶν τῶν γραφῶν, καὶ μετὰ ἑβδομήκοντα ἔτη τῶν Ἰουδαίων ἀνελθόντων εἰς τὴν χώραν αὐτῶν, ἔπειτα ἐν τοῖς χρόνοις Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως, ἐνέπνευσεν Ἔσδρᾳ τῷ ἱερεῖ ἐκ τῆς φυλῆς Λευὶ, τοὺς τῶν προγεγονότων Προφητῶν πάντας ἀνατάξασθαι λόγους, καὶ ἀποκαταστῆσαι τῷ λαῷ τὴν διὰ Μωυσέως νομοθεσίαν. τοσαῦτα ὁ Εἰρηναῖος.

D

Caput IX.

Quinam Epiſcopi fuerint Commodi Principatu.

Vide Nicephor. l 4.c.19.

PORrò cùm Antoninus novemdecim annis Imperium tenuiſſet, Commodus Principatum accepit. Cujus anno primo Julianus Alexandrinæ Eccleſiæ ſuſcepit Sacerdotium, cùm Agrippinus duodecim annos epiſcopalis adminiſtrationis expleſſet.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Οἱ κατὰ Κόμοδον ἐπισκοπεύσαντες.

ΕΝνέα δὲ καὶ δέκα ἔτεσι τῇ βασιλείᾳ διαρκέσαντος Ἀντωνίνου, Κόμοδος τὴν ἡγεμονίαν παραλαμβάνει· οὗ κατὰ τὸ πρῶτον ἔτος τῶν κατ' Ἀλεξάνδρειαν ἐκκλησιῶν Ἰουλιανὸς ἐγχειρίζεται τὴν Ἐπισκοπήν, ἐπὶ δυοκαίδεκα ἔτεσι τὴν λειτουργίαν ἀναπλήσαντος Ἀγριππίνου.

UNIVERSITÄTS- BIBLIOTHEK PADERBORN